# ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

## Περὶ Μεθόδων τινῶν ἁπλουστέρων,

### ὧν Ἐπίσημος κατὰ τὰς λογικὰς ἐνεργείας ἡ χρῆσις.

---

### Μέθοδος Ὁρισμῶν.

§. ωξβʹ.

Τῷ ὁρισμὸν ἀποδώσοντι Γνωριστικόν τινος (§. ρκθʹ. Σημ.) θεωρείσθω πρῶτον τὸ ὁριστὸν ἐν ὑπάρξει· τουτέστιν ἀτομικῶς (§. ηʹ. Σημ.), ἐν πλείοσιν ὑποκειμένοις, καὶ χρόνοις, καὶ τόποις, καὶ τρόποις, καὶ ταῖς ἄλλαις περιστάσεσι κατὰ σύγκρισιν ἐναρμοζόμενον. Εἶτα, ἃ μὲν διὰ τῆς τοιᾶσδε ποικιλλομένου συγκρίσεως, ἄλλοτε ἄλλως ἐνορᾶται συμβαίνοντα ἀποπεμπέσθω δι᾽ ἀφαιρέσεως (§. οδʹ.), ἃ δ᾽ ἂν ἐν οἱαδήποτε καταστάσει τεθέντι, ἀπαραιτήτως προσεῖναι νοοῖτο, ταῦτα δὴ κατεχέσθω. Διὰ γὰρ τούτων ὡς οὐσιωδῶν τε καὶ ἀναφαιρέτων γνωρισμάτων (§. αὐτ.), ἡ παντὸς τοῦ προκειμένου τελεῖται ἀνάλυσις (§. ριαʹ.), ὅς ἐστιν ὁ Ὁρισμός (§. ριϛʹ.).

§. ωξγʹ. Οἷον μηνὸς Φεβρουαρίου $\frac{9}{20}$ τοῦ 1766. ὅπερ ἄγομεν ἔτους, περὶ πρώτην ὥραν ἀπὸ μεσημβρίας, ἐκλελοιπὼς ὁ ἥλιος ἔντισι τῶν ἔξω τῆς Εὐρώπης ὤφθη κλιμάτων, ὡς ἐκεῖσε δή, καὶ κατ᾽ ἐκεῖνο τοῦ χρόνου, παρὰ τοῖς ἐκείνας ἔχουσι τὰς οἰκήσεις τὸν γενόμενον σκοτασμὸν θεαθῆναι, τῶν δὲ τὴν Εὐρώπην οἰκούντων ἐθνῶν παρ᾽ οὐδενί. Ἀλλὰ γὰρ ἔτους τοῦ αὐτοῦ, Αὐγούστου μηνὸς $\frac{5}{16}$ μετὰ μεσημβρίαν πάλιν αὐτὸ τοῦτο πείσεται ἥλιος, ἢ μᾶλλον ἡ γῆ. Καὶ διαληφθήσεται μὲν ἡ ἀκτὶς προδήλως πᾶσι μικροῦ τοῖς τὴν Εὐρώπην, καὶ τῆς Ἀμερικῆς τὰ Ἀρκτῷα οἰκοῦσι, τοῦ δὲ σκοτασμοῦ ἀρχή, τοῖς μὲν τὸ Βερολῖνον ἔχουσι, φέρε, ἐν ὥρᾳ 5. καὶ 25ʹ. γενήσεται, μέσον δὲ ἐν 7. καὶ 13ʹ. τό, τε τέλος αὐτοῖς ἀθέατον, τῆς τοῦ Φωστῆρος δύσεως φθανούσης τὴν ἀνακάθαρσιν. Τοῖς δὲ πρὸς ἥλιον ἀνίσχοντα, ἢ δυόμενον τετραμμένοις πρότερον ἢ ὕστερον, καὶ τάχιον ἢ βράδιον, τῷ λόγῳ δηλονότι τῆς ἀπὸ τοῦ ληφθέντος μεσημβρινοῦ, ἑκατέρωθεν ἀποστάσεως. Καὶ κατ᾽ ἄλλους δὲ χρόνους, τοῖς τὴν αὐτὴν
ἔχουσι



ἔχουσι μοῖραν οὐκ ἀεὶ ὡσαύτως τὸ φαινόμενον καθορᾶται, καὶ ἄλλοις ἄλλως, ὡς ἐνίοτε καὶ δακτύλιόν τινα φαεινὸν δι᾽ ἄκρου πέρατος τοῦ δίσκου σχηματογραφεῖσθαι, ὅπερ ἐπὶ ταῖς κεντρῴαις ἐκλείψεσι συμβαίνει, ταῖς καὶ δακτυλιοειδέσι καλουμέναις ἀπὸ τοῦ σχήματος. Ἐπὶ γοῦν τῶν εἰρημένων ἐκλείψεων, τρεπτὰ μὲν τὸ ὧδε ὁρᾶσθαι ἢ ἐκεῖσε· καὶ τὸ τότε ἢ τότε· καὶ τὸ τοσόνδε ἢ τοσόνδε, καὶ τὸ τοιῶσδε τῷ σχήματι ἢ τοιῶσδε. Ἄτρεπτα δέ, καὶ ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἐν ἁπάσαις κοινά, τὸ τὴν ἀντίφραξιν γίνεσθαι· τὸ τὴν ἀκτῖνα διαλαμβάνεσθαι· τὸ μέρος τι τοῦ δίσκου ἀφωτόν ποθεν κατοπτάνεσθαι· τὸ κατὰ τὰς συνόδους τῶν Φωστήρων, ἐν ἀκριβέσι ταῖς ἐπὶ τῶν δεσμῶν, ἢ λέγουσι, συζυγίαις, τόδε τελεῖσθαι· Καθ᾽ ἃ δὴ καὶ ὁ ὁρισμὸς ἀποδοθήσεται. Ὅτι Ἔκλειψις ἡλίου ἐστίν, ὁ τισὶ τῶν ἐπὶ γῆς οἰκούντων τοῦ Φωστῆρος φαινόμενος σκοτασμός, ὁ ἐν ἀκριβέσι ταῖς συζυγίαις συμβαίνων.

§. ωξδʹ. Κατὰ μὲν οὖν τὴν εἰρημένην μέθοδον ὁ ὁρισμὸς φιλοτεχνεῖται ἄριστα ὁ Γνωριστικός. Ἐὰν δὲ συνάμα τοῖς ἄλλοτε ἄλλως ἐπὶ τοῦ ὁριστοῦ ἔχειν παρατηρουμένοις, καὶ τὰ ἀπαραιτήτως αὐτῷ ἐν οἱαδήποτε καταστάσει ἐπιθεωρούμενα διὰ τῆς ἀφαιρέσεως ἀπενεχθῇ, μόνα δὲ παραληφθῇ εἰς μέσον τὰ αἴτια, δι᾽ ἃ δὴ τῶν δυνατῶν εἶναι νοεῖται τὸ ὁρισθῆναι προκείμενον, τηνικαῦτα, ὁ δι᾽ ἐκείνων ἀποδιδόμενος ὁρισμὸς Γενετικός, ἢ φασί, καὶ πραγματιώδης (§. ρκθʹ. Σημ.) ἔσται, ὃν ἅλις ἔχει αἰτιώδη καλεῖν. Οἷον ἐάντις ἐπὶ τοῦ ἀνωτέρω ἀποδῷ, ὅτι Ἔκλειψις ἡλίου ἐστίν, ἡ τῆς Σελήνης ἡλίου μεταξὺ καὶ γῆς, ἐπ᾽ ὀρθείας, ἢ ὡς ἔγγιστα τῆς ὀρθείας κειμένων παρέμπτωσις.

§. ωξεʹ. Δυνατὸν ἐπ᾽ ἐνίων τὸν Γνωριστικὸν (§. ωξγʹ.) τῷ Γενετικῷ (§. ἀνωτ.) εἰς ταὐτὸ συμπαραλαμβάνειν, καὶ ὁρισμὸν ἐξ ἀμφοῖν ἀποδιδόναι μικτόν, οἷον παρὰ τὸν εἰς δεῖγμα τεθέντα τῆς ἐκλείψεως, καὶ τὰς παραλλήλους τῶν ὀρθειῶν, Γνωριστικῶς μὲν ἐστὶν ὁρίσασθαι, ὅτι εἰσὶν αἱ ἐν ἐπιπέδῳ εἰς ἄπειρον προεκβαλλόμεναι, μηδέποτε δὲ συμπίπτουσαι. Αἰτιωδῶς δέ, ὅτι αἱ ὀρθείας ἀπαρεγκλίτως εἰσὶν ἀγομένης, ὑπὸ τῶν περατούντων αὐτὴν σημείων καταγραφόμεναι. Συνάψαντας δὲ ἀποδοῦναι οἷόντε καὶ ἑκατέρωθεν. Ἔστι δ᾽ ἐφ᾽ ὧν εἰς ταὐτό, ἑκάτερος τῶν ὁρισμῶν οὕτω συμπίπτει, ὡς χαλεπὸν εἶναι διαστῆσαι τοῦ ἑτέρου τὸν ἕτερον. Οἷον ἐπὶ τῆς ὀρθογράμμου γωνίας, τῶν ἄλλοτε ἄλλως αὐτῇ συμβαινόντων, κατὰ τὴν ταχθεῖσαν μέθο-